# TEZAUR LITURGIC

## 29 OCTOMBRIE
## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# SLUJBA SF.MUCENIC CHIRIL DE LA ROMA

ATENA,2020

www.tezaurliturgic.ro



# 29 Ὀκτωβρίου Ἀκολουθία μ. ΚΥΡΙΛΛΟΥ,συναθλητοῦ μ.Ἀναστασίας τῆς Ρωμαίας

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε φιλέορτοι πάντες, πανηγυρίσωμεν, τὴν μνήμην ἐκτελοῦντες, τοῦ ἐνδόξου Κυρίλλου· οὗτος γὰρ τῷ ξίφει σφαγιασθείς, ὡς ἀμνὸς ἐθελόθυτος, καὶ τῆς χαρᾶς τῶν Μαρτύρων ἀξιωθείς, νῦν πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Τίς μὴ ἀξίως ὑμνήσει, τὴν μαρτυρίαν σου, Κύριλλε θεομάκαρ, τῶν Μαρτύρων ἀκρότης; Σωτῆρα γὰρ κηρύξας τὸν Ἰησοῦν, τῶν τυράννων ἐνώπιον, τῆς ἀσεβείας κατῄσχυνας τὴν ὀφρύν, καὶ τὴν πίστιν ἐμεγάλυνας.

Ἀναστασίας τῆς θείας, Ὁσιομάρτυρος, τῷ ζήλῳ καὶ τοῖς ἄθλοις, ἐκοινώνησας Μάρτυς· διὸ ἐν παῤῥησίᾳ τὸν Λυτρωτήν, σὺν αὐτῇ καθικέτευε, ἵνα ῥυσθῶμεν ἐκ πάσης ἐπιβουλῆς, οἱ τὴν μνήμην σου γεραίροντες.

Χαίροις πανεύφημε Μάρτυς, Κύριλλε ἔνδοξε, τῶν Ἀθλοφόρων κλέος, Ἐκκλησίας ἡ δόξα, εἰδώλων

καθαιρέτης ὁ θαυμαστός, εὐσεβείας ὁ πρόβολος· Χριστῷ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν ὑμνούντων σου τὴν ἄθλησιν.

Δόξα. Ἦχος β'.

Ἀθλοφόρε Κύριλλε, τίς σε κατ' ἀξίαν εὐφημήσει; ὡς ἐραστὴς γὰρ Χριστοῦ, πρὸς τὸ μαρτύριον ἔσπευσας, καὶ ἐν αὐτῷ ἐχθρῶν ἀοράτων, παρατάξεις κατέβαλες. Ὅθεν ἐν οὐρανοῖς δοξασθείς, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος β'. Οἶκος τοῦ 'Εφραθᾶ.

Ξίφει σφαγιασθείς, ἀπέτεμες τὴν πλάνην, εἰδώλων τῶν ματαίων· διὸ ἐθαυμαστώθης, θεόφρον Μάρτυς Κύριλλε.

Στ. *Θαυμαστός ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Πίστει ἐνισχυθείς, τοῖς ἄθλοις σου καθεῖλες, τὸ θράσος τῶν τυράννων· διὸ ἐθαυμαστώθης, θεόφρον Μάρτυς Κύριλλε.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Φάλαγγας δυσμενῶν, διέλυσας ἐν μάχαις, τοῦ θείου μαρτυρίου· διὸ ἐθαυμαστώθης, θεόφρον Μάρτυς Κύριλλε.

Δόξα. Ἦχος δ’.

Ἀθλητικὴν ἀνδρείαν ἐπιδειξάμενος, μαρτυρικῆς εὐκλείας κατηξιώθης, Μάρτυς Κύριλλε· διὸ ἐν οὐρανοῖς, τῷ ἐν Τριάδι Θεῷ παριστάμενος, ἱκέτευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα Σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος δ’. Ὁ ἐξ Ὑψίστου κληθείς.

Τὸν Ἀθλοφόρον τανῦν ἐν ἐγκωμίοις, δεῦτε εὐφημήσωμεν πανηγυρίζοντες, ὡς διαλάμποντα σήμερον, τῇ οἰκουμένῃ, τοῦ μαρτυρίου τοῖς ἀπαυγάσμασιν· οὗτος γὰρ μιμούμενος, ζῆλον τὸν ἄριστον, Ἀναστασίας τῆς Μάρτυρος, φωνῇ μεγάλῃ, ἐν τῷ σταδίῳ Χριστὸν ἐκήρυξε, καὶ διὰ ξίφους πρὸς τὴν ἄπονον, μετετέθη ζωὴν ἀγαλλόμενος, τοῦ πρεσβεύειν Κυρίῳ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πνευματικὸν τοῖς πιστοῖς σήμερον ἔαρ, Κυρίλλου τοῦ Μάρτυρος μνήμη ἡ πάντιμος, καὶ φωτοφόρος

ἐξέλαμψε, τὴν ᾿Εκκλησίαν, τῶν Ὀρθοδόξων καθωραΐζουσα· οὗτος συνυψώσας γάρ, ψυχῆς τὸ φρόνημα, ὡς γενναιόφρων τῷ σώματι, σαυτὸν λατρείαν, εὐωδεστάτην Θεῷ προσήγαγε, καὶ τῆς σαρκὸς αὐτοῦ ἐν μέλεσι, τὸν Σωτῆρα τοῦ κόσμου ἐδόξασεν· ᾧ πρεσβεύει ἀπαύστως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πεπυρωμένος Χριστοῦ τῇ ἀγαπήσει, θυμὸν οὐκ ἐνάρκησας ὅλως παράνομον, καὶ δυσμενῶν πρὸς παράταξιν, ἔστης γενναίως, ἀνακηρύττων Μάρτυς τὴν κλῆσίν σου· ὅθεν ἀπειλούμενος, ἵστασο ἄτρεπτος, καὶ μαστιζόμενος ἔχαιρες, ἐν εὐφροσύνῃ, ὥς τινος ἄλλου σώματι πάσχοντος· σφαγιαζόμενος δὲ Κύριλλε, τὴν ζωὴν μυστικῶς ἐνητένιζες, ἧς γενόμενος ἔνδον, καθικέτευε σωθῆναι ἡμᾶς.

Ἕτερα. Ἦχος πλ. δ᾽. Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς Ἀθλοφόρε Κύριλλε, τῆς εὐσεβείας καλῶς, ἐν ὁδῷ πορευόμενος, ἀσεβοῦς ἠλόγησας, παρανόμου προστάγματος, καὶ τῶν εἰδώλων πλάνης ἐλέπτυνας, εἰς χοῦν καὶ κόνιν τὰ χειροποίητα, ξίφει δεξάμενος, τέλος τὸ μακάριον· ὅθεν Χριστῷ, ὑπὲρ πάντων πρέσβευε, τῶν εὐφημούντων σε.

Μάρτυς Ἀθλοφόρε Κύριλλε, Ἀναστασίας Χριστοῦ, τῆς Ὁσίας καὶ Μάρτυρος, τὴν ἁγίαν ἄθλησιν, εὐσθενῶς μιμησάμενος, ἐν τοῖς ὑψίστοις ἐκληρονόμησας, τὴν εὐδοξίαν τῆς Ἀναστάσεως· ξίφει γὰρ ἤθλησας, ἐν

ῥωμαλεότητι ὄντως φρενῶν, καὶ τυράννων ᾔσχυνας, πᾶσαν ἐπίνοιαν.

Μάρτυς Ἀθλοφόρε Κύριλλε, σὺ τῇ ἀγάπῃ Χριστοῦ, μυστικῶς εὐωχούμενος, μίσους τῇ ἐνστάσει σου, ἅπαν σύνδεσμον ἔλυσας, καὶ μαρτυρίου τιμίοις αἵμασι, πεφοινιγμένος πρὸς δόξαν ἔδραμες, τὴν αἰωνίζουσαν, ἔνθα ἀγαλλόμενος, ὑπὲρ ἡμῶν, ἐκτενῶς ἱκέτευε, τῶν ἀνυμνούντων σε.

Δόξα. Ἦχος πλ. β'.

Θείου Πνεύματος πυρί, εἰδώλων πλάνην πυρπολήσας, μαρτυρίου μαρμαρυγαῖς, τὴν οἰκουμένην ἐφαίδρυνας, Κύριλλε Μάρτυς κράτιστε· εἰς ὄρη γὰρ ζῶντος Θεοῦ, ψυχῆς τὰ ὄμματα διάρας, ἐν τῷ σταδίῳ ἠγωνίσω, καὶ τὴν σφαγὴν ὑπεδέξω, ὡς ζωῆς αἰωνίου παραίτιον. Ὅθεν σήμερον οἱ πιστοί, τὴν μνήμην σου ἐκτελοῦντες, τὴν πρεσβείαν σου ἐξαιτούμεθα, ἵνα λυτρωθῶμεν τῆς μελλούσης ὀργῆς, διὰ σπλάγχνα πολλῶν οἰκτιρμῶν, τοῦ ἐν ὑψίστοις σε δοξάσαντος.

Καὶ νῦν. Θεοτοκίον.

Τὶς μὴ μακαρίσει Σε, Παναγία Παρθένε; τὶς μὴ ἀνυμνήσει Σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ Αὐτὸς ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν

ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ.μγ’,9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀναγγελεῖ ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ᾽ ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ’, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ

γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ.ε’,15-6,3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ

σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α’.

Εὐφραίνου καὶ ἀγάλλου, Ἀθλοφόρε Χριστοῦ, Κύριλλε μακάριε· σὺ γὰρ ὑπερφρονήσας τῶν τῇδε γεηρῶν, πρὸς Μαρτύρων τὸ σκάμμα κατέσπευσας, καὶ ξίφει σφαγιασθείς, τὸν προστάτην τῆς ἀνομίας κατῄσχυνας· ἐντεῦθεν ὡς τῆς πίστεως ἀριστεύς, δικαιοσύνης ἐκομίσω τὸν στέφανον, καὶ παρέστης ἐν δόξῃ τῷ Θεῷ. Αὐτῷ οὖν πρέσβευε ἐκτενῶς, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β’.

Ἐν τῷ σταδίῳ ἑστώς, καὶ Ἀναστασίας τῆς Μάρτυρος, τοὺς ἄθλους θεωρῶν, τοῖς τυρράνοις ἐβόας, μακάριε Κύριλλε· Χριστός ἐστιν ὁ ἀληθινὸς Θεός, ὁ διά Σταυροῦ τοῖς ἀνθρώποις, τὴν ἀφθαρσίας χαρισάμενος. Αὐτὸν οὖν δυσώπει, ὡς ἔχων παῤῥησίαν,

ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Πνεύματος Ἁγίου, καὶ θείας δυνάμεως, πλήρης γενόμενος, ὁ Μάρτυς Κύριλλος, εἰδώλων τὴν πλάνην κατέβαλε· τὴν πανοπλίαν γὰρ ἀναλαβών, ὡς ἐχέφρων τῆς πίστεως, ἐν τῷ σταδίῳ ἐπέστη, καὶ ἐν αὐτῷ τῶν Μαρτύρων, τὸν ἀγῶνα ἐτέλεσεν. Αὐτοῦ ταῖς πρεσβείαις, φιλάνθρωπε Κύριε, κατάπεμψον καὶ ἡμῖν, τὸ μέγα ἔλεος.

Ἦχος δ’.

Ζηλώσας τὴν ἐν ἄθλοις ἀνδρείαν, τῆς ἐπωνύμου τῆς Ἀναστάσεως, Χριστοῦ Ὁσιομάρτυρος, ἐν τῷ σταδίῳ ἠνδραγάθησας, στεῤῥόψυχε Κύριλλε· καὶ τῇ δι᾿ αἵματος πάλῃ, τῆς ἀσεβείας καταισχύνας τὴν ἔπαρσιν, τῆς εὐσεβείας τὸ μέγα μυστήριον, τοῖς πέρασιν ἐτράνωσας. Ὅθεν λαμπρῶς προσεχώρησας, πρὸς τῶν Πρωτοτόκων τὴν Μητρόπολιν, ἐμφανιζόμενος τῷ προσώπῳ, τοῦ δοξάσαντός σε ἐν Τριάδι Θεοῦ, τοῦ παρέχοντος ἡμῖν, διὰ σοῦ τό μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β’.

Μαρτυρικοῦ ἀγωνίσματος, ἀριστέα σε λαμπρὸν ὀνομάζομεν, Ἀθλοφόρε ἔνδοξε· ὡς δὲ ὁπλίτην γενναῖον, ἐκλεκτῶν τῆς παρατάξεως, εὐφημοῦμέν σε Κύριλλε· Ἀναστασίᾳ γὰρ τῇ Ἀθληφόρῳ, ἐν τοῖς ἄθλοις ἁμιλλώμενος, καὶ τὴν ἄκτιστον Θεότητα πάντας, ἐν τῇ ὁμολογίᾳ σου ἐκδιδάξας, εἰδώλων τὰς ἀρχὰς ἐξεμείωσας, ἀποτμηθεὶς τὴν κεφαλήν σου, ὡς ἀρνίον

Κυρίου πραότατον. Διό σου τὴν ἀεισέβαστον μνήμην, πιστῶς πανηγυρίζοντες, τὸν δοξάσαντά σε Κύριον, ὡς Θεὸν παντοδύναμον δοξάζομεν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἀθλοφόρου, καὶ πάντων τῶν ῾Αγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τόν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος δ’. ῾Ως γενναῖον ἐν Μάρτυσιν.

Φιλεόρτων οἱ σύλλογοι, ἑορτίως κροτήσωμεν, ἐν τῇ μνήμῃ σήμερον τοῦ παμμάκαρος, χαίροις αὐτῷ ἀνακράζοντες, πανεύφημε Κύριλλε, ὁ δοξάσας τὸν Χριστόν, μαρτυρίου ἐν σκάμματι· ὁ τὴν ἔπαρσιν, τῶν τυράννων αἰσχύνας τῇ ἀθλήσει, καὶ δεξάμενος θεόθεν, δικαιοσύνης τὸν στέφανον.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Εὐσεβείας καὶ πίστεως, διαπρέπων ταῖς πράξεσιν, ὡς σοφίας ἔμπλεως καὶ συνέσεως, Ἀναστασίας πανεύφημε, τῆς Ὁσιομάρτυρος, θεοφόρος μιμητής, ἐχρημάτισας Κύριλλε, καὶ ἐτέλεσας, μαρτυρίου γενναίως τὸν ἀγῶνα· ὅθεν πρέσβευε Κυρίῳ, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐδοξίαν ἀπέλαβες, ἐν ὑψίστοις ἀθάνατον, τοῦ Χριστοῦ τὸν θάνατον μιμησάμενος· διὸ ἡμᾶς τοὺς

προστρέχοντας, τῇ θείᾳ πρεσβείᾳ σου, καὶ τὴν μνήμην σου πιστῶς, τὴν χαρμόσυνον σήμερον, ἑορτάζοντας, ἐκ κινδύνων διάσωσον παντοίων, καὶ ἐχθροῦ τῆς κακουργίας, Μάρτυς πανεύφημε Κύριλλε.

Δόξα. Ἦχος β'.

Δεῦτε πιστοί, τὸν Μάρτυρα Κύριλλον ἐπαινέσωμεν, ὅτι αἱμάτων αὐτοῦ τὰ ῥεῖθρα, πολυθεΐας πηγὰς ἀποξηράναντα, τοὺς εὐσεβεῖς κατήρδευσαν, πρὸς παγκαρπίαν κρείττονα, τῶν δωρεῶν τῆς πίστεως· διὸ μεγαλύνομεν Χριστόν, τὸν ὡς ἀμνὸν ἄμωμον αὐτόν, τοῖς προβάτοις Αὐτοῦ συναριθμήσαντα, καὶ πρὸς Αὐτὸν βοήσωμεν· ὁ τῶν Μαρτύρων Σου τοῖς πόνοις, ὑπὲρ λόγον θαυμαστωθείς, καὶ δι᾽ αὐτῶν τῷ λαῷ Σου, θαυμάσια ἐνεργῶν, Κύριε δόξα Σοι.

Καὶ νῦν. Θεοτοκίον.

Ὢ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων! τίς γὰρ ἔγνω μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν, Ὃν ὡς βρέφος Πάναγνε, Σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς Αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν Σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἐν ὁράσει τῶν ἄθλων, τῆς καλλιμάρτυρος, Ἀναστασίας θεόφρον, ἐνισχυθεὶς τὴν ψυχήν,

μαρτυρίου εὐκλεῶς τὸν δρόμον ἤνυσας, καὶ ἐν νυμφῶνι τῆς ζωῆς, τῆς Ἀναστάσεως Χριστοῦ, τῇ δόξῃ κατελαμπρύνθης· διὸ πρέσβευε παῤῥησίᾳ, Κύριλλε Μάρτυς τοῦ σωθῆναι ἡμᾶς.

Ἕτερον. Ἦχος γ’. Θείας πίστεως.

Ἄθλοις πίστεως, ἀνδραγαθήσας, τῇ φαιδρότητι, κατεκοσμήθης, τῆς ἀφθάρτου ζωῆς Μάρτυς Κύριλλε, καὶ εὐωδέστατον μύρον τῇ μνήμῃ σου, ἀναπηγάζεις ἡμῖν θείας χάριτος. Ὅθεν ἅπαντες, τιμῶμέν σε μεγαλύνοντες, Τριάδα ὀρθοδόξως ὁμοούσιον.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου, Σωτὴρ.

Χριστοῦ τοῦ δι᾿ ἡμᾶς, ἐπὶ ξύλου παθόντος, ἐδείχθης μιμητής, ἐκτελέσας γενναίως, Μαρτύρων τὸ ἀγώνισμα, παμμακάριστε Κύριλλε· Ὃν ἱκέτευε, ὑπὲρ ἡμῶν παῤῥησίᾳ, τῶν τελούντων σου, ἐν εὐφημίαις ᾀσμάτων, τὴν μνήμην τὴν πάντιμον.

Δόξα. Ὅμοιον.

Τὰ πάθη τὰ σεπτά, τοῦ Χριστοῦ ἑκουσίως, ἐν ῥώμῃ ψυχικῇ, ἐξεικόνισας Μάρτυς, ἀθλήσεως τὸν δίαυλον, διανύσας ὡς ἄσαρκος. Ὅθεν Κύριλλε, τῆς Οὐρανῶν Βασιλείας, ἀναδέδειξαι, δεδοξασμένος πολίτης· διὸ εὐφημοῦμέν σε.

Καί νῦν. Θεοτοκίον.

Ὠράθης τοῦ Θεοῦ, ἀδιάφθορος Μήτηρ, τεκοῦσα ἐν σαρκί, Ὅν πρὸ πάντων αἰώνων, Πατὴρ ὁ προάναρχος, Λόγον Κόρη ἠρεύξατο. Ὅθεν ἅπαντες, γλώττῃ, νοῒ καὶ καρδίᾳ, Θεοτόκον Σε, ὁμολογοῦμεν κυρίως, τὸ χαῖρε βοῶντές Σοι.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Μαρτύρων τὴν εὔκλειαν, ἐπιποθήσας σφοδρῶς, Μαρτύρων ἐν αἵματι, πρὸς τὰς αὐλὰς τῆς ζωῆς, ἐχώρησας Κύριλλε, ἔνθα περιχορεύων, σὺν Ἁγίων τοῖς δήμοις, πρέσβευε παῤῥησίᾳ, τῷ Θεῷ ὑπὲρ πάντων, τῶν πόθῳ ἐκτελούντων τὴν σήν, πανήγυριν σήμερον.

Δόξα. Ὅμοιον.

Ἰσχύς σου καὶ ὕμνησις, προφητικῶς γεγονώς, Χριστὸς ὁ φιλάνθρωπος, πρὸς μαρτυρίου στεῤῥῶς, τὸ στάδιον ἔδραμες· ἔνθα ἀνακηρύξας, τὴν χριστώνυμον κλῆσιν, ξίφει τὴν ἱεράν σου, κεφαλὴν ἀπετμήθης· διὸ καὶ ἐδοξάσθης τρανῶς, μακάριε Κύριλλε.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία Πανάχραντε, ἡ νοητὴ Βηθλεέμ, Ἀπείρανδρε Δέσποινα, ὁ οἶκος τοῦ ᾿Εφραθᾶ, ἐξ οὗ ἐξελήλυθεν, ἄρχων ἐν δυναστείᾳ, οὗ αἱ ἔξοδοι Κόρη, ἐξ ἡμερῶν αἰῶνος, ἀπ᾿ ἀρχῆς προανάρχου· τῶν Σὲ δοξολογούντων, πρεσβείαις Σου πρόστηθι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ’. Θείας πίστεως.

Θῦμα ἔμψυχον, ἡγιασμένον, δι᾽ ἀθλήσεως, προσανηνέχθης, τῷ Κυρίῳ μακάριε Κύριλλε· σὺ γὰρ τυράννων μανίας ἠλόγησας, καὶ τῶν εἰδώλων τὴν πλάνην κατήργησας. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ὅμοιον.

Ὡς ἡδύπνοον, ἀνδρείας κέδρον, ὡς πανεύοσμον, σοφίας ῥόδον, καρτερίας ὡς εὔκαρπον φοίνικα, ὡς εὐσεβείας ἀρνίον πραότατον, καὶ στρατιώτην ἀήττητον πίστεως, Μάρτυς Κύριλλε, ἐν ὕμνοις ἀνευφημοῦμέν σε, δοξάζοντες Τριάδα ὁμοούσιον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Δέσποινα, Εὐλογημένη, ἡ κυήσασα, ἀνερμηνεύτως, τὸν Θεὸν καὶ Δεσπότην τῆς κτίσεως· τοὺς ἐπὶ Σοὶ πεποιθότας Πανάχραντε, καὶ καταφεύγοντας πίστει τῇ σκέπῃ Σου, ἀπὸ θλίψεων, διάσωσον καὶ κακώσεων, ὡς ἔχουσα πλουσίαν τὴν συμπάθειαν.

Οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον, ζήτει τῇ κστ’ ᾿Οκτωβρίου.

Ὁ Ν’ Ψαλμός.

Δόξα. Ταῖς τοῦ ᾿Αθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ. *Ἐλέησόν με, ὁ Θεός,...*

Ἡλίου φαιδρότερον, φωστήρων τηλαυγέστερον, ἐπεφάνη ἡ μνήμη σου, Κύριλλε Μάρτυς ἀήττητε· μαρτυρίου γὰρ ἀνατολῇ, ἐκ Ῥώμης ἐξανατείλας, ταῖς ἀκτῖσι τῆς χάριτος, τὴν σύμπασαν καταπυρσεύεις. Διὸ εὐσεβῶς, οἱ πιστοὶ συναθροισθέντες, ὡς εὐσεβείας σε ἀριστέα γεραίρομεν, δοξάζοντες τὸν ἐν Τριάδι Θεόν, τὸν παρέχοντα διὰ σοῦ, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.

Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς· *Ἁγνὴ τήνδε τὴν δέησίν μου δέχου. Κυρίλ*(λ)*ου.*

Ὠδὴ α'. Ἦχος β'. Ὁ Εἱρμός.

*Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων· ὅτι δεδόξασται.*

Ἆσμα πιστῶς, τῇ Παναγίᾳ Μητρὶ τοῦ Θεοῦ, οἱ εὐσεβεῖς προσοίσωμεν, ἀνακραυγάζοντες· Θεοτόκε Παρθένε, ἐκ θλίψεων παντοίων, ῥῦσαι τοὺς δούλους Σου.

Γνώμην καλήν, δίδου μοι Μῆτερ Παρθένε Ἁγνή, καὶ φρονημάτων λύτρωσαι, τῆς ματαιότητος, τὸν ἀκάθαρτον νοῦν μου, ὡς ἂν καρποφορήσω, βίον ἐνάρετον.

Νὺξ με παθῶν, ἡ ἀφεγγὴς περιέχει Ἁγνή, ἀλλ᾽ ἡ τὸ φῶς γεννήσασα, Χριστὸν τὸν Κύριον, ἀπαθείας ἡμέραν, ἀνάτειλον μοι Κόρη, ἵνα σωθήσομαι.

Ἡ τοῦ Πατρός, Μῆτερ τὸν Λόγον τεκοῦσα σαρκί, τῆς ἀλογίας ῥῦσαί με, τῶν ἁμαρτάδων μου, καὶ ὁδὸν μετανοίας, εὐτρέπισόν μοι Κόρη, τῇ προμηθείᾳ Σου.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· *Μακαριζέσθω εὐσεβείας ὁ Μάρτυς. Κυρίλ*(λ)*ου.*

Ἦχος δ’. Θαλάσσης τὸ ἐρυθραῖον.

Μαρτύρων, ἀξιωθεὶς λαμπρότητος, τρισμάκαρ Κύριλλε, καὶ παρεστὼς τῆς δόξης τῷ φωτί, φῶς ἐξαίτει μοι ἄνωθεν, ὡς ἂν ὑμνήσω ᾄσμασι, τοῦ μαρτυρίου σου τὰ τρόπαια.

Ἀντέστης, τυραννικῷ προστάγματι, παμμάκαρ Κύριλλε, καὶ διὰ ξίφους ἤθλησας στεῤῥῶς, τῆς ζωῆς μὴ φεισάμενος, τῆς ἐπικήρου ἔνδοξε, ὡς πεπλησμένος θείας γνώσεως.

Κοσμήσας, ἐν εὐσεβείας πράξεσι, τὸν βίον Κύριλλε, ἀθλητικῶς ἐσφράγισας αὐτόν, καὶ ἀνάθημα ἔμψυχον, προσήχθης παμμακάριστε, τῷ δόντι κόσμῳ τὴν Ἀνάστασιν.

Ἀγάπης, τῆς πρὸς Θεὸν λαμπόμενος, τῷ φέγγει Κύριλλε, ὡς φαεινὸς ἀνέτειλας ἀστήρ, μαρτυρίου παλαίσμασι, καὶ τὴν σκοτίαν ἔλυσας, τῆς τῶν εἰδώλων ματαιότητος.

Θεοτοκίον.

Ῥητόρων, ὢ Μαριάμ οὐ σθένουσιν, αἱ γλῶσσαι ἅπασαι, τὸ τελεσθὲν μυστήριον ἐν Σοί, ἑρμηνεῦσαι Πανάχραντε, δι᾽ οὗ ἡμῖν ἐξήνθησεν, ἡ αἰωνία ἀγαλλίασις.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ γ'. Ὁ Εἱρμός.

*Στερέωσον ἡμᾶς ἐν Σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον Σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων Σε.*

Τὴν φύσιν τῶν βροτῶν ἀνεκαίνισας, ἀσπόρως τεκοῦσα τὸν εὐεργέτην, Μαριὰμ Θεοχαρίτωτε· Ὃν ἐκδυσώπει ὑπὲρ τῶν ὑμνούντων Σε.

Ἡλίου τῆς ζωῆς ἡλιόμορφος, καθέδρα Παρθένε γεγενημένη, τὴν ψυχήν μου φωταγώγησον, ἐσκοτισμένην πολλοῖς πλημμελήμασι.

Ναμάτων τῆς ζωῆς ἀνεξάντλητος, ὑπάρχουσα κρήνη Θεοκυῆτορ, σωτηρίας μοι ἀνάβλυσον, τὸν μυστικὸν γλυκασμὸν ἱκετεύω Σε.

Δοχεῖον τοῦ Θεοῦ καθαρώτατον, ἐδείχθης Παρθένε τῷ τοκετῷ Σου· διὸ κάθαρον Σῇ χάριτι, τοῦ μολυσμοῦ τῶν κακῶν τὴν καρδίαν μου.

Κανὼν τοῦ Ἁγίου. Εὐφραίνεται ἐπὶ Σοί.

Ἰσχύϊ πνευματικῇ, καταπαλαίσας τὸν ἐχθρὸν Κύριλλε, νικητικὰ ἔπαθλα, παρὰ τοῦ Κυρίου ἀπείληφας.

Ζηλώσας ὡς νουνεχής, Ἀναστασίας τὰ λαμπρὰ τρόπαια, διὰ Χριστὸν ἔσπευσας, Κύριλλε παθεῖν προθυμότατα.

Ἐξήρανας ἀληθῶς, πολυθεΐας θολερὰ ῥεύματα, μαρτυρικοῖς αἵμασι, Κύριλλε Μαρτύρων ἀγλάϊσμα.

Συνήθλησας ἀνδρικῶς, Ἀναστασίᾳ τῇ σεμνῇ Κύριλλε, αὐτῆς τῇ καρτερότητι, ἄμαχον ἰσχὺν ἐνδυσάμενος.

Θεοτοκίον.

Θαμβεῖται πᾶσα ψυχή, ὅτι ὁ Λόγος τοῦ Πατρὸς Ἄχραντε, ἐκ Σοῦ φρικτῶς προσείληφε, φύσιν τὴν βροτείαν ὡς Εὔσπλαγχνος.

Κάθισμα. Ἦχος γ’. Τὴν ὡραιότητα.

Ἐν πέτρᾳ ἔστησας, τῆς θείας γνώσεως, τὰς τῆς καρδίας σου, βάσεις καὶ ἔμεινας, ἀπαρασάλευτος ἐχθρῶν, μανίᾳ τῇ ὑπερόγκῳ· πάθος δὲ τὸ ἄχραντον, τοῦ Χριστοῦ μιμησάμενος, ἄδικον ὑπήνεγκας, ἀγαλλόμενος θάνατον· διὸ ζωῆς τρυφᾶς τῆς ἀγήρω, Κύριλλε Μάρτυς ἐν ὑψίστοις.

Δόξα. Ἦχος δ’. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀναστασίας τῷ φαιδρῷ μαρτυρίῳ, συγκοινωνήσας ἐν πολλῇ καρτερίᾳ, ὦ θεομάκαρ Κύριλλε, Μαρτύρων καλλονή, σὺν αὐτῇ ἀνέδραμες, εἰς ζωῆς τὸν νυμφῶνα, ἔνθα τῆς θεώσεως ὑπεδέξω τὴν χάριν, ὑπὲρ ἡμῶν πρεσβεύων ἐκτενῶς, τῶν ἐκτελούντων τὴν ἔνδοξον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ὑπερούσιον κυήσασα Λόγον, ἀνακαλούμενον Ἀδὰμ τὸν γενάρχην, ἐξ ἧς φθόνῳ τοῦ ὄφεως, ἐκπέπτωκε ζωῆς, ἀνωτέρα πέφηνας, πάσης κτίσεως Κόρη, τῶν Ἀγγέλων ἄνασσα, καὶ Κυρία τοῦ κόσμου· διό Σοι γλῶσσα πᾶσα εὐλαβῶς, χαῖρε κραυγάζει, Θεοῦ ἡ λοχεύτρια.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ δ’. Ὁ Εἱρμός.

*Ἐλήλυθας, ἐκ Παρθένου, οὐ πρέσβυς οὐκ Ἄγγελος, ἀλλ’ αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, ὅλον με τὸν ἄνθρωπον· διὸ κραυγάζω Σοι· Δόξα τῇ δυνάμει Σου Κύριε.*

Ἐκύησας, τὸν Δεσπότην, ἀσπόρως τῆς κτίσεως, καὶ μετὰ τὴν κύησιν, παρθένος ἄφθορος ἔμεινας, Δέσποινα Πανάχραντε· διὸ βοῶμέν Σοι· χαῖρε τῆς Θεότητος ὄχημα.

Τοὺς πίστει Σε, Θεοτόκον, φρονοῦντας ἀμόλυντον, μητρικῇ προνοίᾳ Σου, παντὶ ἐν βίῳ προστάτευε, σῴζουσα ὡς εὔσπλαγχνος, αὐτοὺς ἐκ θλίψεων, νόσων καὶ κινδύνων Πανύμνητε.

Ἠμαύρωσα, τῆς εἰκόνος, τὸ κάλλος ὁ ἄθλιος, ἐμαυτὸν Πανάχραντε, καταδουλώσας τοῖς πάθεσιν· ἀλλὰ Σὺ με κάθαρον, εὐχῶν Σου ὕδατι, ἵνα κατὰ χρέος χρέος δοξάζω Σε.

Νεκρώσεως, τὸν χιτῶνα, ὁ τάλας ἐνδέδυμαι, τοῦ Θεοῦ τὸ θέλημα, ὡς ἀθετήσας Θεόνυμφε· ἀλλὰ Σὺ

διόρθωσον, τῇ μετανοίᾳ με, καὶ πρὸς τὴν ζωὴν ἐπανάγαγε.

Κανὼν τοῦ Ἁγίου. Τὴν ἀνεξιχνίαστον.

Ὢ τῆς εὐψυχίας σου Μάρτυς σοφέ! ὢ τῆς ὑπὲρ λόγον ἀνδρείας σου! σὺ γὰρ φιλήσας, ὁλοθέρμως τὸν Θεόν, Μαρτύρων ἀγαλλόμενος, Κύριλλε ὑπῆλθες τὸ στάδιον.

Ἔνστασιν ἐνίκησας τῶν ἀσεβῶν, θείᾳ κυβερνήσει τοῦ Πνεύματος, τοῦ μαρτυρίου, τὴν ὁδὸν καρτερικῶς, τελέσας Μάρτυς Κύριλλε, ὡς Χριστοῦ τῷ πόθῳ φλεγόμενος.

Ὕμνοις σε γεραίρομεν τὸν καρτερόν, Κύριλλε ὁπλίτην τῆς πίστεως, τὸν παρατάξεις, πολεμίων νοητῶν, μαρτυρικῶς ἐκτρέψαντα, θείᾳ συμμαχίᾳ τῆς χάριτος.

Θεοτοκίον.

Σῶσόν με τὸν ἄθλιον Μῆτερ Ἁγνή, καταμολυνθέντα τοῖς πταίσμασιν, ἡ τὸν Σωτῆρα, ἀπειράνδρως τοῦ παντός, ὑπερφυῶς κυήσασα· ὢ τῶν ὑπὲρ νοῦν μεγαλείων Σου!

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ε’. Ὁ Εἱρμός.

*Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων ποιητὴς Κύριος, ἐν τῷ φωτὶ τῶν Σῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς· ἐκτός Σου γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.*

Δέχου Παρθένε Ἁγνή, τῶν οἰκετῶν Σου τὴν οἰκτρὰν δέησιν, καὶ τῶ φωτὶ Σῆς κηδεμονίας, ὁδήγησον ἡμᾶς, πρὸς τῶν προσταγμάτων, Θεοῦ τὴν ἐκπλήρωσιν.

Ἐνανθρωπήσας ἐκ Σοῦ, ὁ τῶν αἰώνων ποιητὴς Κύριος, τῶν γηγενῶν σκέπην φωτοφόρον, ἀνέδειξεν Ἁγνή, πιστῶς προσκυνούντων, τὸν ἄσπορον τόκον Σου.

Ἤρθη Ἁγνὴ πρὸς ζωήν, πρὸς ἀφθαρσίαν καὶ χαρὰν ἄφθαρτον, τῶν γηγενῶν ἡ πεσοῦσα φύσις, τῷ τόκῳ Σου· διὸ, μακαρίζομέν Σε, Θεὸν μεγαλύνοντες.

Σὺ τὰς αἰσθήσεις Ἁγνή, τῆς παναθλίας μου ψυχῆς μου λάμπρυνον, τῷ φωτισμῷ τῆς Σῆς εὐσπλαγχνίας, ὡς ἂν τοῦ πονηροῦ, βελίαρ παγίδων, Παρθένε ῥυσθήσομαι.

Κανὼν τοῦ Ἁγίου. Σὺ Κύριέ μου φῶς.

Ἐδέξω καρτερῶς, διὰ ξίφους τόν θάνατον, ὦ Κύριλλε τῇ μιμήσει, τοῦ δι᾽ οἶκτον παθόντος, Χριστοῦ καὶ σὲ δοξάσαντος.

Βασάνων ἀλγεινῶν, καὶ θανάτου ἀνώτερος, ὦ Κύριλλε ἀνεδείχθης, καὶ ὑπέδειξας πᾶσι, τῆς πίστεως τὴν δύναμιν.

Ἐπέβης ἀνδρικῶς, τῶν Μαρτύρων τὸ στάδιον, ὦ Κύριλλε καὶ καθεῖλες, τὴν μανίαν τῆς πλάνης, ἀθλήσας μέχρις αἵματος.

Θεοτοκίον.

Ἱλέωσαι Ἁγνή, τὸν τεχθέντα ἐκ σπλάγχνων Σου, ἡμῖν τοῖς ἀνευφημοῦσιν, ὡς Θεοῦ Σε Μητέρα, Πανάχραντε ἀμόλυντον.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ στ᾽. Ὁ Εἱρμός.

*Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας Σου, ἐπικαλοῦμαι ἄβυσσον· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.*

Ἱκεσίας Παρθένε ἐπάκουσον, ἡμῶν τῶν τεκνίων Σου δι᾽ ἀγαθότητα, καὶ ἐκ φθορᾶς ἀνάγαγε, τὴν ζωὴν ἡμῶν θείαις πρεσβείαις Σου.

Νοσημάτων τὰ ἕλκη θεράπευσον, τῶν κατ᾽ ἄμφω Δέσποινα ταλαιπωρούντων με· Σοὶ γὰρ προσπίπτω σῶσόν με, ὅτι πλήν Σου οὐκ ἔχω βοήθειαν.

Μεγαλεῖα Ἁγνή Σοι ἐποίησεν, ὥσπερ ἔφης Κύριος ἐκ τῶν αἱμάτων Σου, σωματωθείς ᾧ πρέσβευε, τὴν εἰρήνην Σοῖς δούλοις δωρήσασθαι.

Οὐ πτοοῦμαι δαιμόνων τεχνάσματα, ἔχων Σὴν ἀντίληψιν, τεῖχος ἀπόρθητον· διὸ πιστῶς κραυγάζω Σοι· χαῖρε πάντων ἀνθρώπων ἡ σύμμαχος.

Κανὼν τοῦ Ἁγίου. Θύσω Σοι μετὰ φωνῆς.

Ἅπαντα τῶν δυσμενῶν καθεῖλες βουλεύματα, Ἀναστασίας τῆς θείας, ὡς ζηλώσας Μάρτυς τὴν εὐτονίαν, μεθ᾽ ἧς χαίρων, περιπολεύεις νῦν τὸν Παράδεισον.

Στάχυας, τῆς ἀφθαρσίας Μάρτυς ἐξήνεγκας, γεωργηθεὶς τὰς ἀρούρας, τῆς ψυχῆς σου Κύριλλε μαρτυρίου, τῷ ἀρότρῳ, ὡς μιμητὴς Χριστοῦ ἀκριβέστατος.

Ὁ πλάνης εἰδωλικῆς πατήσας τὰ θήρατρα, καὶ ἀληθείας ἀνδρείως, τῇ δυνάμει Μάρτυς ὑπεραθλήσας, μὴ ἐλλίπῃς, μνημονεύων ἀεὶ τῶν τιμώντων σε.

Θεοτοκίον.

Μέγιστον Σῆς λοχείας Ἁγνή τὸ μυστήριον, ὅτι Θεὸς τοῖς ἀνθρώποις, διὰ Σοῦ Παρθένε συνανεστράφη· διὸ πᾶσαι, αἱ γενεαί Σε πίστει γεραίρομεν.

Κοντάκιον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Ὡς ἀθλητὴν τῆς εὐσεβείας ἔνδοξον, καὶ καθαιρέτην ἀσεβείας κράτιστον, καὶ φαιδρὸν Μαρτύρων καύχημα, Κύριλλον ὕμνοις εὐφημήσωμενς, τὸν ξίφει ὑπὲρ φύσιν ἐναθλήσαντα, καὶ δόξης ἀκηράτου κοινωνήσαντα· Χριστῷ γὰρ πρεσβεύει ὡς ἀήττητος.

Ὁ Οἶκος.

Τοῦτον τὸν ἔνδοξον Ἀθλοφόρον, τὸν ἐν Ῥώμῃ ἀνδρείως ἐναθλήσαντα πιστοί, Μαρτύρων τὸ κλέος Κύριλλον, ἐν ἐγκωμίοις ἀνευφημήσωμεν, καὶ ἐν ὕμνοις ἐνθέοις, αὐτοῦ τὴν μνήμην μέλψωμεν· τῶν γὰρ εἰδώλων τὴν πλάνην εἰς τέλος κατῄσχυνε, σὺν ταύτῃ δὲ καὶ τοῦ βελίαρ, τὸ μαινόμενον θράσος κατέβαλε· διὸ ὑψόθεν ἀπέλαβε, τῆς νίκης τὰ βραβεῖα παρὰ Θεοῦ.

Αὐτὸν οὖν εὐλαβῶς μακαρίσωμεν· Χριστῷ γὰρ πρεσβεύει ὡς ἀήττητος.

Μηνολόγιον.

Τῇ ΚΘ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Κυρίλλου, τοῦ συναθλήσαντος τῇ Ἁγίᾳ Ὁσιομάρτυρι Ἀναστασίᾳ τῇ Ρωμαίᾳ.

Στίχοι·

*Ὑπόσχεσιν μέλλοντος οὖσά μοι στέφους,*
*Κύριλλος οἶδα τὴν ἀπειλὴν τοῦ ξίφους.*
*Εἰκάδι δ' ἐνάτῃ Κύριλλος στέφος εὕρατο δόξης.*

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ζ'. Ὁ Εἱρμός.

*Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεηρᾶ λατρευομένης, οἱ τρεῖς Σου Παῖδες κατεπάτησαν, ἀθεωτάτου προστάγματος· μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.*

Ἡ μόνη Ἁγνή, παρθενίας ἡ φωτὶ πεποικιλμένη, ἡ προστασία καὶ βοήθεια, τοῦ χριστωνύμου πληρώματος, κοίμισον παθῶν τὰς ὀρέξεις, τῶν ἐν πίστει βοώντων Σοι· χαῖρε ἡ Μήτηρ τοῦ Θεοῦ, τοῦ Βασιλέως ἡμῶν.

Δυνάμει τῆς Σῆς, ἱκεσίας πρὸς Θεὸν Θεοκυῆτορ, ἀφθόνως πάρεχε τοῖς τέκνοις Σου, ἰσχὺν βεβαίαν τοῦ Πνεύματος· Σοὶ γὰρ λυπηρῶν ἐν ἐφόδοις,

καταφεύγομεν κράζοντες· χαῖρε Παρθένε Ἀγαθή, καταφυγὴ τῶν πιστῶν.

Ἐκ Σοῦ ὁ Θεός, ἐσαρκώθη Ἀγαθὴ ὡς ἠβουλήθη, καὶ Σὲ παρθένον διεφύλαξε, μετὰ τὸν τόκον ἀμόλυντον· ὅθεν μολυσμοῦ ἀνομίας, τοὺς βοῶντάς Σοι λύτρωσαι· χαῖρε Παρθένε Μαριάμ, τῶν Ὀρθοδόξων ἐλπίς.

Χριστοῦ τοῦ Θεοῦ, χαῖρε οἶκος καὶ σκηνὴ ἠγλαϊσμένη· ἁγνείας χαῖρε τὸ παλάτιον· χαῖρε ταμεῖον τῆς χάριτος· χαῖρε ἰατρὸς τῶν νοσούντων, καὶ χαρὰ ἀνεκλάλητος, τῶν προσκυνούντων τὸ ἐν Σοί, θαῦμα Παρθένε Ἁγνή.

Κανὼν τοῦ Ἁγίου. Ἐν τῇ καμίνῳ.

Ἀναστασίας, τῆς Ἀθληφόρου Κύριλλε τοῦ Χριστοῦ, ζῆλον εὐσεβείας Μάρτυς τὸν ἀῤῥαγῆ, μιμησάμενος ἐνήθλησας, καὶ συνδεδόξασαι, ἐν οὐρανοῖς αὐτῇ παμμακάριστε.

Ῥείθροις αἱμάτων, καταποικίλας ἔνδυμα τῆς ψυχῆς, ὅλος διαλάμπων ἤρθης πρὸς τὰς σκηνάς, τῆς ἀφθάρτου ὡραιότητος, ἔνθα θεούμενος, σῶν ὑμνητῶν μνημόνευε Κύριλλε.

Τεῖχος γενέσθαι, καὶ προστασία δέομαι κραταιά, Κύριλλε θεόφρον Μάρτυς ἡ πρὸς Θεόν, ἀκαταίσχυντος πρεσβεία σου, ἐχθρῶν ἀπείργουσα, ἐπιδρομὰς δολίας καὶ μάστιγας.

Θεοτοκίον.

Ὕμνοις ἀπαύστοις, ἀνευφημοῦμεν πάντες Σε οἱ πιστοί, τόκου Σου τιμῶντες ξένον τὸ θαυμαστόν, δι᾽ οὗ Ἄχραντε ἀνέτειλε, φῶς τὸ τῆς γνώσεως, τοῖς Θεοτόκον ὁμολογοῦσί Σε.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ η’. Ὁ Εἱρμός.

*Τὸν ἐν καμίνῳ τοῦ πυρός, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον, μεταβαλόντα Θεόν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.*

Ὄρος πανάγιον Θεοῦ, ὄρος πῖον ἀληθῶς ἀναδειχθεῖσα, τῷ ἁγίῳ Σου τόκῳ, προφητικῶς γλυκασμόν, τῆς χάριτος Μῆτερ ἀπόσταξον, δροσίζουσα πάντας, τοὺς Σὲ ὑμνολογοῦντας.

Ὕψιστον ἔτεκες Θεόν, μετὰ σώματος Ἁγνὴ Θεοκυῆτορ, καὶ τὴν ἔκπτωτον φύσιν, τῶν ἐξ Ἀδάμ γηγενῶν, ἀνύψωσας· ὅθεν βοῶμέν Σοι· χαῖρε Θεοτόκε, Ὑπερευλογημένη.

Κεκοσμημένη ἀρεταῖς, καὶ ἁγνείας ἀστραπαῖς λαμπρυνομένη, ἀπεκύησας Κόρη, ἄνευ τροπῆς τὸν Θεόν, ᾧ πρέσβευε πάντοτε σῴζεσθαι, τοὺς ἀνακειμένους, τῇ Σῇ φιλανθρωπίᾳ.

Ὑπὲρ τοῦ κόσμου ἐκτενῶς, καθικέτευε ἀεὶ τὸν προελθόντα, ἐξ ἁγίας γαστρός Σου, ἐκχεῖσθαι ῥεῖθρα ἡμῖν, ἐλέους Παρθένε Πανάμωμε· Σὺ γὰρ παῤῥησίαν, ὡς Μήτηρ Αὐτοῦ ἔχεις.

Κανὼν τοῦ Ἁγίου. Λυτρωτὰ τοῦ παντός.

Σὺ ὁ Μάρτυς Χριστοῦ θεῖε Κύριλλε, ὑφαντὸν ἐν τῆς ἄνωθεν χάριτος, ἱμάτιον ἐνδέδυσαι, τῆς φθορᾶς τὸν χιτῶνα, τοῦ μαρτυρίου, ἐκδυσάμενος πόνοις καὶ θλίψεσι.

Καθελὼν τῆς ἀπάτης τὸ φρύαγμα, ἀληθείας τὸ κράτος ἐτράνωσας, θεόφρον Μάρτυς Κύριλλε, καὶ Κυρίου τῆς δόξης, ἐν τῇ ψυχῇ σου, τὸ ἀνέσπερον φέγγος εἰσδέδεξαι.

Ὑπέρ φύσιν ἀθλήσας ὡς εὔψυχος, τῶν Ἁγίων χοροῖς συνηρίθμησαι, μεθ᾽ ὧν Θεῷ προσάγαγε, ἐπιμόνους δεήσεις, ἵνα ῥυσθῶμεν, τῶν ἐν βίῳ κακῶν Μάρτυς Κύριλλε.

Θεοτοκίον.

Ῥυπωθέντα ἀλόγοις με πάθεσιν, ἡ τὸν Λόγον ἀσπόρως κυήσασα, ὁλοτελῶς με κάθαρον, ῥυπτικαῖς Σου πρεσβείαις, ἵνα Παρθένε, μεγαλύνω ἀεί Σε γηθόμενος.

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ θ’. Ὁ Εἱρμός.

*Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀῤῥήτῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀδάμ, βρώσει φθορᾷ πεπτωκότα δεινῶς, ἐξ Ἁγίας Παρθένου, ἀφράστως σαρκωθέντα δι᾽ ἡμᾶς, οἱ πιστοὶ ὁμοφρόνως, ἐν ὕμνοις μεγαλύνομεν.*

Ῥάβδος θεόβλαστος ὤφθης, γεωργήσασα ἄνθος, Δέσποινα ἀνηρότως τὸν Χριστόν, τὸν φυτουργὸν τῆς ἀψεύστου ζωῆς, καὶ Ἀδάμ τῆς κατάρας, ἀνέσπασας ἐκ

ῥίζης τὸ φυτόν· ἀλλὰ καὶ ἡμᾶς σῶσον, δυνάμει τῆς πρεσβείας Σου.

Ἰαματόβρυτος Μῆτερ, Σὺ ἀνέβλυσας κρήνη, τῷ γένει τῶν ἀνθρώπων ἀληθῶς· ὅθεν πλουσίως μοι βλῦσον Ἁγνή, ἐκ ψυχῆς ἱκετεύω, τὸ νᾶμα τοῦ Θεοῦ τῶν δωρεῶν, ἵνα σβέσω Παρθένε, τὴν φλόγα τῶν πταισμάτων μου.

Λόγος ἀνθρώπων οὐδόλως, Θεοτόκε ἰσχύει, θαῦμα εὐφημῆσαι τὸ ἐν Σοί· Σὺ γὰρ Χριστὸν δι᾿ ἡμᾶς τοὺς βροτούς, ἀποῤῥήτως τεκοῦσα, εὐλογίας αἰῶνα, ἀνέτειλας τῇ κτίσει ἀληθῶς· διὸ πάντες ὑμνοῦμεν, ἀεὶ τὰ μεγαλεῖά Σου.

Ὄμβροις Παρθένε ζειδώροις, μητρικῆς Σου πρεσβείας, πότισον τὴν διψῶσάν μου ψυχήν, ἵνα ἄφθαρτον στάχυν, ἐκβλαστήσῃ Κυρίου, τῶν θείων χαρισμάτων Ἀγαθή· Σοὶ γὰρ πίστει προσπίπτω, διὸ μὴ καταισχύνῃς με.

Ὕμνοις ἀεί Σε τιμῶμεν, τοῦ Θεοῦ τὴν Μητέρα, καὶ μόνην προστασία τῶν πιστῶν· μὴ παρώσῃ οὖν Κόρη, ἀναξίους δεήσεις, τῷ πλούτῳ τῶν πολλῶν Σου οἰκτιρμῶν, ἀλλὰ δεῦρο διδοῦσα, ἡμῖν τὴν Σὴν βοήθειαν.

Κανὼν τοῦ Ἁγίου. Λίθος ἀχειρότμητος.

Ἴσχυσας ἀήττητε Μάρτυς, ἐνισχυόμενος ὑψόθεν, Πνεύματος Ἁγίου δυνάμει, κατακρατῆσαι, εἰδωλικῆς ἀπάτης· διό σε ἐστεφάνωσε, ὁ Βασιλεὺς τῆς δόξης Κύριλλε.

Λάμπεις τῇ Χριστοῦ ᾿Εκκλησίᾳ, ὡς οὐρανόφωτος λυχνία, καὶ καταπυρσεύεις ἐνθέως, τοὺς ἐκτελοῦντας, τὴν φαεινήν σου μνήμην, ἐν ᾗ ἡμᾶς χαρίτωσον, τοὺς ὑμνητάς σου Μάρτυς Κύριλλε.

Ὅλον σεαυτὸν ὑποτάξας, τῷ δι᾽ ἡμᾶς σαρκί παθόντι, ξίφει ἀπετμήθης τὴν κάραν, καὶ Παραδείσου, ἐν ταῖς αὐλαῖς εἰσῆλθες, ἐν αἷς χορεύων Κύριλλε, μὴ ἐπιλάθῃ τῶν ὑμνούντων σε.

Θεοτοκίον.

Ὕμνοις ἀκορέστως ὑμνοῦμεν, τὸν θεῖον τόκον Σου Παρθένε, δι᾽ οὗ σωτηρία ἐδόθη, τῇ οἰκουμένῃ, Εὐλογημένη Κόρη, ἧς καὶ ἡμᾶς ἀξίωσον, ταῖς μητρικαῖς Σου παρακλήσεσι.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀναστασίας Κύριλλε, τῆς Χριστοῦ Ἀθληφόρου, ὡς πάνσοφος ἐζήλωσας, τὴν ἐν ἄθλοις ἀνδρείαν, καὶ μαρτυρίου εἰσῆλθες, εὐθαρσῶς πρὸς τὸ σκᾶμμα, ἔνθα σφαγήν τὴν ἄδικον, ἑκοντὶ ὑπομείνας, ξίφους ἀκμῇ, ἐν οἰκείῳ αἵματι ἡγιάσθης, καὶ τὴν σκηνὴν κατῴκησας, ἐν ᾿Εδὲμ τῶν Ἁγίων.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Σαρκὸς μισήσας πρόνοιαν, καὶ βίον τὸν ἐπίκηρον, ἀνδρειοφρόνως ὑπῆλθες, ἀθλήσεως τὸν ἀγῶνα· διὸ ἐδέξω Κύριλλε, παρὰ Χριστοῦ τὰ ἔπαθλα, ἐν ᾧ καὶ ζῇς αἰτούμενος, εἰρήνην καὶ σωτηρίαν, τοῖς εὐλαβῶς σε τιμῶσι.

Θεοτοκίον.

Μαρία Θεονύμφευτε, ἀσπόρως ἡ κυήσασα, Πατρός τὸν ἄναρχον Λόγον, δι᾽ ἀγαθότητα ἄκραν, τοὺς μόνην Θεοτόκον Σε, ὑμνολογοῦντας Δέσποινα, ὡς εὐμενὴς οἰκείωσαι, τῇ μητρικῇ Σου πρεσβείᾳ, τῷ ἐκ γαστρός Σου τεχθέντι.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος α’. Πανεύφημοι Μάρτυρες.

Πανεύφημε Κύριλλε Χριστόν, τὸν Θεὸν ἠγάπησας, καὶ δι᾽ Αὐτὸν τῆς ἀθλήσεως, καλῶς ἐτέλεσας, τὸν λαμπρὸν ἀγῶνα, ἐν δυνάμει χάριτος· διὸ δικαιοσύνης τὸν στέφανον, ἐδέξω ἄνωθεν, καὶ παρέστης τῷ Παντάνακτι, μνημονεύων, τῶν πιστῶς ὑμνούντων σε.

Πανεύφημε Κύριλλε στεῤῥῶς, τῆς Ὁσιομάρτυρος, Ἀναστασίας τὴν ἔνστασιν, ἐκμιμησάμενος, ἀσεβῶν τυράννων, ἔστης κατενώπιον, κυρύττων τοῦ Σωτῆρος τὸ ὄνομα. Αὐτῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πανεύφημε Κύριλλε Χριστοῦ, τὸν Σταυρὸν ὡς θώρακα, ἐνδεδυμένος ἐχώρησας, πρὸς πάλην ἔνθεον, καὶ τῶν ἀοράτων, δυσμενῶν τὰ φάλαγγας, ἰσχύϊ θεϊκῇ κατετρόπωσας· διὸ δεδόξασαι, καὶ παρέστης τῷ Κυρίῳ σου, ἱκετεύων, ὑπὲρ τῶν τιμώντων σε.

Πανεύφημε Κύριλλε τῶν σῶν, αἱμάτων προσχύσεσιν, πολυθεΐας κατέσβεσας, εἰδώλων

ἄνθρακας, καὶ πυρὶ θαυμάτων, τοῦ Σωτῆρος χάριτι, τὴν ὕλην τῶν παθῶν φλέγεις πάντοτε· διὸ τιμῶμέν σε, γηθοσύνως ἐκτελοῦντές σου, τὴν φωσφόρον, πανήγυρον σήμερον.

Δόξα. Ἦχος πλ. δ’.

Τὸ σφάγιον τὸ λογικόν, καὶ ἐθελόθυτον θῦμα, Κύριλλον εὐφημήσωμεν· ὅτι ὡραῖος ἐν στίγμασι, τοῦ μαρτυρίου γενόμενος, τῆς ὑπὲρ νοῦν ὡραιότητος, ἐφαιδρύνθη τῇ λαμπρότητι. Διὸ ταῖς εὐχαῖς αὐτοῦ, Χριστὲ ὁ Σωτὴρ ἡμῶν, τὴν εἰρήνην παράσχου τῇ οἰκουμένῃ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Doξoλoγία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ’ καὶ στ’ ’Ωδή.

Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ κστ’ Ὀκτωβρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις ὁ ἐν Ῥώμῃ μαρτυρικῶς, Κύριλλε παμμάκαρ, ἀριστεύσας διὰ Χριστόν· χαίροις ὁ αἰσχύνας, εἰδώλων τὴν ἀπάτην, καὶ πίστεως τρανώσας, κράτος τὸ ἄμαχον.

Στίχοι.

*Ἀναστασίας εὐκλεοῦς Ἀθληφόρου,*
*Ἐν μαρτυρίῳ ὁ στεῤῥὸς ἰχνηλάτης,*
*Κύριλλε Μάρτυς εὐπραγίαν ἐν βίῳ,*
*Αἴτει Κυρίλλῳ σῷ οἰκτρῷ ὑμνολόγῳ·*
*Ἔχεις γὰρ ὄντως παῤῥησίαν μεγίστην,*
*Ὡς τροπαιοῦχος εὐσεβείας ὁπλίτης.*

